ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείστας, Περὶ ἀμφισβητήσεων, Περὶ ἀφροδισίων καὶ ἄλλων πολλῶν.

EV 140 Παμφιλίδας, Ῥοδίων ναύαρχος· ὃς ἐδόκει πρὸς πάντας τοὺς καιροὺς εὐαρμοστότερος εἶναι τοῦ Πασιστράτου, διὰ τὸ βαθύτερος φύσει καὶ στασιμώτερος μᾶλλον ἢ τολμηρότερος ὑπάρχειν. ἀγαθοὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ τῶν κατὰ λόγον, ἀλλ' ἐκ τῶν συμβαινόντων ποιεῖσθαι τὰς διαλήψεις.

Hesy. 141 Πάμφιλος, Ἀμφιπολίτης ἢ Σικυώνιος ἢ Νικοπολίτης, φιλόσοφος, ὁ ἐπικληθεὶς Φιλοπράγματος. Εἰκόνας κατὰ στοιχεῖον, Τέχνην γραμματικήν, Περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, Γεωργικὰ βιβλία γ΄.

Hesy. 142 Πάμφιλος, Ἀλεξανδρεύς, γραμματικὸς Ἀριστάρχειος. ἔγραψε Λειμῶνα· ἔστι δὲ ποικίλων περιοχή, Περὶ γλωσσῶν ἤτοι λέξεων βιβλία ϙε΄· ἔστι δὲ ἀπὸ τοῦ ε στοιχείου ἕως τοῦ ω· τὰ γὰρ ἀπὸ τοῦ α μέχρι τοῦ δ Ζωπυρίων ἐπεποιήκει. Εἰς τὰ Νικάνδρου ἀνεξήγητα καὶ τὰ καλούμενα Ὀπικά, Τέχνην κριτικήν, καὶ ἄλλα πλεῖστα γραμματικά.

143 Πάμφιλος· οὗτος ἀεὶ ἔμμετρα ἔλεγεν ἐν τοῖς πότοις. ἔγχει πιεῖν μοι καὶ τὸ πέρδικος σκέλος. ἀμίδα δότω τις ἢ πλακοῦντά τις δότω. οὕτως Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Ar. 144 Πάμφιλος, δημαγωγὸς Ἀθήνῃσι. καὶ ἔκλεπτε τὰ τοῦ δήμου καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριστοφάνης.

Σ 145 Πάμφορος: παντοῖα φέρων.

Soph. 146 Πάμψυχος: ὁ Ἀμφιάραος, ὅτι πασῶν ψυχῶν ἀνάσσει ἐν ᾅδου· ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν· ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σῴζων, ὅ ἐστιν ἀθάνατος.

Δ 147 Πάν: ὄνομα θεοῦ Ἑλληνικοῦ. τραγοσκελής. φιλέρημος, ἀπράγμων καὶ πόνον ἔχων νεβρίδιον, καὶ καλαυρόπιον καὶ συρίγγιον.
καὶ ζήτει περὶ τούτου ἐν τῷ ἀλίπλαγκτος.

Suid. 148 Πάν, Πανός. ὅτι Αἴσωπος, ὁ Μιθριδάτου ἀναγνώστης, ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα.

Phil. 149 Πᾶν· τὸ πᾶν ἐστιν ὅ τε κόσμος καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ συστήματος. ὁ μὲν οὖν κόσμος

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413863263/22 UNIVERSITÄT LEIPZIG